E.

Λίθος σάπφειρος πορφυρίζων, ὡς βλάττης † πορφύρας τῆς μελαίνης τὸ εἶδος. πολλὰ δὲ γένη τούτου ὑπάρχουσιν. ἔστι γὰρ ὁ βασιλικὸς, χρυσοστιγής. οὐ πάνυ δὲ οὗτος θαυμαζόμενος ὡς ὁ δι' ὅλου πορφυρίζων. καὶ οὗτος δὲ λέγεται εἶναι ἐν τῇ Ἰνδίᾳ καὶ Αἰθιοπίᾳ. διὸ τὸ τέμενος παρὰ Ἰνδοῖς φασιν εἶναι τοῦ Διονύσου τ ξ ε. ἀναβαθμοὺς ἔχον ἐκ σαπφείρου λίθου, εἰ καὶ τοῖς πολλοῖς ὑπάρχει ἄπιστον. ἔστι δὲ θαυμαστὸς ὁ λίθος καὶ εὐειδέστατος, καὶ χαριέστατος. διὸ καὶ ἐν † τοῖς χλιδόσι καὶ ὁρμίσκοις κατατιθέασι τούτων, μάλιστα οἱ βασιλεῖς. Ἀλεξίπονος δὲ ἐστι. τριβόμενος γὰρ καὶ ψυδράκων καὶ φυμάτων γινομένας πληγὰς σὺν γάλακτι ἰᾶται, χριόμενος τοῖς ἡλκωμένοις. γέγραπται δὲ καὶ ἐν τῷ νόμῳ, τὴν τῷ Μωϋσεῖ ὀφθεῖσαν ὀπτασίαν ἐν τῷ ὄρει, καὶ δοθεῖσαν νομοθεσίαν, ἀπὸ λίθου σαπφείρου πεφυκέναι λέγεται.

† πορφύρας puto pro interpretatione in margine scriptũ fuisse

† ταῖς

S.

Λίθος ἴασπις. οὗτός ἐστι τὸ εἶδος σμαραγ-

γδί-